verò orationis hæc omnia, de quibus singillatim dixeras, congestim ponas, ac de rebus omnibus dicas, conuenit. Hoc igitur modo prolixiores reddi orationes poterunt. Qui autem dicendi voluerit breuitate vti, oportet totum negotium vno vocabulo complectatur, & hoc maximè quod in ipsa re breuissimum insit. Opus est etiam paucis vti copulis, plurima verò coniungere: nominibus ita vti, vt vna dictio duabus seruiat rebus: eritque frequens illa iteratio è partibus amouenda, & in orationum duntaxat finibus iterandum. Et hoc quidem modo breues poterimus orationes efficere. Quòd si mediocritate vti in dicẽdo volueris, partium maximas deligens, de hisce verba facias oportet. Est etiam mediis vtendum nominibus, quæ scilicet neque longissima, neque breuissima, neque multa de aliqua vna re sint, sed mediocria potius. Oportet & epilogos ex intermediis partibus neque omnino auferri, neque vbique rursum inferri. Sed quæ maximè auditoribus nota esse volueris, in iis maximè ad finem iterationibus vti conuenit. Ex hisce igitur, quandocunq. libuerit, prolixitate vti in dicendo quibimus. Quòd si facetam volueris orationem scribere permaximè tibi obseruãdum est, vt verborum mores hominibus similes queas reddere. Id autem efficies, si qui magni, qui curiosi, qui mediocres sunt mores, consideraris. De iis igitur poteris hac via cognoscere: de nominum verò cõpositione iam declarabimus. Est enim etiam hoc apprimè necessarium.

## CAPVT XXIIII.

Primùm igitur figuræ nominum sunt tres, simplex, composita, & trãslata. Eodem etiam modo positiones sunt tres: Vna quidem, quæ in vocalem connexionibus E terminat, & à vocali incipit. Secunda verò quæ à muta incipiens, in mutam desinit. Tertia autem quę mutas vocalibus iungit. Item ordines sunt quatuor, quorum vnus similia nomina aut inuicem collocat aut dispergit: alius vero qui eisdem rationibus vtitur, aut inuicem mutat: tertius vero qui vno, multísve nominibus rem appellat: quartus autem ordo est, quo gesta negotia nominamus, aut præterimus. Quo F igitur pacto pulcherrimæ orationis filum texendum sit, nunc edocebimus.

A τελευτῇ τοῦ λόγου, ταῦτα περὶ ὧν καθ' ἓν ἕκαστον εἴρηκας, ἀθρόα συντιθέναι, καὶ περὶ ὅλων τῶν πραγμάτων λέγειν. τοῦτον μὲν οὖν τὸν τρόπον μῆκος ἕξουσιν οἱ λόγοι, βραχυλογεῖν δὲ βουλόμενον, ὅλον τὸ πρᾶγμα ἑνὶ ὀνόματι περιλαμβάνειν, καὶ τούτῳ ὃ ἂν ὑπάρχῃ βραχύτατον τῷ πράγματι. χρὴ δὲ καὶ συνδέσμοις ὀλίγοις ποιεῖν, τὰ πλεῖστα δὲ B ζευγνύναι· ὀνομάζειν μὲν οὕτω· τῇ δὲ λέξει εἰς δύο χρῆσθαι, καὶ παλιλλογίαν τὴν σύντομον ἐκ τῶν μερῶν ἀφαιρεῖν, ἐν δὲ ταῖς τελευταῖς μόνον παλιλλογεῖν. καὶ τοῦτον μὲν τὸν τρόπον βραχεῖς τοὺς λόγους ποιήσομεν. ἐὰν δὲ βούλῃ μέσως λέγειν, τὰ μέγιστα τῶν μερῶν ἐκλέγων, περὶ τούτων ποιεῖσθαι τοὺς λόγους. χρὴ δὲ καὶ τοῖς ὀνόμασι τοῖς μέσοις C χρῆσθαι, καὶ μήτε τοῖς μακροτάτοις, μήτε τοῖς βραχυτάτοις, μήτε πολλοῖς περί γε ἑνός, ἀλλὰ μετρίοις. χρὴ δὲ καὶ τοὺς ἐπιλόγους ἐκ τῶν ἀνὰ μέσον μερῶν, μήτε παντελῶς ἐξαιρεῖν, μήτε πᾶσι τοῖς μέρεσιν ἐπιφέρειν· ἀλλ' ἅπερ ἂν μάλιστα βούλῃ κατανοῆσαι τοὺς ἀκούοντας, ἐπὶ τούτων μάλιστα παλιλλογεῖν ἐπὶ τῇ τελευτῇ. τὰ μὲν οὖν μήκη τῶν λόγων ἐκ τούτων ποιήσομεν, ἡνίκα ἂν ἐθέλωμεν. D ἂν δὲ ἀστεῖον γράφειν θέλῃς λόγον, παραφύλαττε ὡς μάλιστα, ὅπως τὰ ἤθη τῶν λόγων ὁμοιοῦν τοῖς ἀνθρώποις δυνήσῃ. τοῦτο δὲ ποιήσεις, ἐὰν ἐπιθεωρῇς τὰ μεγάλα τῶν ἠθῶν, καὶ τὰ ἀκριβῆ, καὶ τὰ μέτρια. περὶ μὲν οὖν τούτων ἐντεῦθεν οὐκ ἀγνοήσεις. περὶ δὲ ὀνομάτων συνθέσεως δηλώσομεν. καὶ γὰρ τοῦτο τῶν ἀναγκαίων ἐστί.

## Κεφάλαιον κδ.

Πρῶτον μὲν οὖν τρόποι ὀνομάτων εἰσὶ τρεῖς, ἁπλοῦς, ἢ σύνθετος, ἢ μεταφέρον. ὡσαύτως καὶ συνθέσεις τρεῖς· μία μὲν εἰς φωνήεντα τελευτᾶν ταῖς συλλαβαῖς, καὶ ἀπὸ φωνήεντος ἄρχεσθαι. δευτέρα δέ, ἀπὸ ἀφώνου ἀρξάμενον, εἰς ἄφωνον τελευτᾶν. τρίτη δέ, τὰ ἄφωνα, πρὸς τὰ φωνήεντα συνδεῖν. τάξεις δὲ τέσσαρες· μία μέν, τὰ ὅμοια τῶν ὀνομάτων, ἢ παράλληλα τιθέναι, ἢ διασπείρειν. ἄλλη δέ, τοῖς αὐτοῖς ὀνόμασι χρῆσθαι, ἢ μεταβάλλειν εἰς ἕτερα. τρίτη δέ, ἑνί, ἢ πολλοῖς ὀνόμασι τὸ πρᾶγμα προσαγορεύειν. τετάρτη δέ, ἐξῆς τὰ πραχθέντα ὀνομάζειν, ἢ ὑπερβιβάζειν. ὅπως δὲ καλλίστην ποιήσεις τὴν ἑρμηνείαν, νῦν δηλώσομεν.